Ἴσμαρος. Κίκονες.

Ἴσμαρος πόλις ἐν τῇ χώρᾳ τῶν Κικόνων, πρὸς τὴν θάλασσαν κειμένη καὶ ὑπ-
ὸ τοῦ Ὀδυσσέως ἐρημωθεῖσα ι 39-40.

Ὁμηρικὴ Γεωγραφία Κοφινιώτου σ. 44

Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσεν,
Ἰσμάρῳ· ἔνθα δ᾽ ἐγὼ πόλιν ἔπραθον, ὤλεσα δ᾽ αὐτούς.

Κατὰ τὴν μάχην ταύτην πρὸς τοὺς Κίκονας ι 47 κ. ἑξ.

ἓξ δ᾽ ἀφ᾽ ἑκάστης νηὸς ἐϋκνήμιδες ἑταῖροι
ὤλονθ᾽.—

Παρὰ τὴν Ἴσμαρον ἡ Μαρώνεια ἦν ἄλσος ἱερὸν τοῦ Ἀπόλλωνος, οὗ ἱερεὺς τοῦ-
του καὶ ναὸς ἐκεῖ ἦν ἀνιδρυμένος, ἱερεὺς δ᾽ ὁ Μάρων, ὃς καὶ ἀσκὸν οἴνου
ἔδωκε τῷ Ὀδυσσεῖ, ἐξ οὗ ἔδωκεν οὗτος τῷ Πολυφήμῳ ι 196

— ἀτὰρ αἴγεον ἀσκὸν ἔχον μέλανος οἴνοιο
ἡδέος, ὅν μοι ἔδωκε Μάρων Εὐάνθεος υἱός,
ἱρεὺς Ἀπόλλωνος, ὃς Ἴσμαρον ἀμφιβεβήκει,
οὕνεκά μιν σὺν παιδὶ περισχόμεθ᾽ ἠδὲ γυναικὶ
ἁζόμενοι· ᾤκει γὰρ ἐν ἄλσεϊ δενδρήεντι
Φοίβου Ἀπόλλωνος.

Ὀνομαστὴ διὰ τὸν οἶνον αὐτῆς ἦν ἡ Ἴσμαρος, οὗ ὁ Μάρων ἔδωκεν, ἀνεμίγνυτο δ᾽
ἕκαστος οἶνος πρὸς 20 μέτρα ὕδατος, τόσον γενναῖος ἦν, τὸ χρῶμα δ᾽ ἦν οὗτος ἐρυθρός
ι 208-211.

τὸν δ᾽ ὅτε πίνοιεν μελιηδέα οἶνον ἐρυθρόν,
ἓν δέπας ἐμπλήσας ὕδατος ἀνὰ εἴκοσι μέτρα
χεῦ᾽, ὀδμὴ δ᾽ ἡδεῖα ἀπὸ κρητῆρος ὀδώδει,
θεσπεσίη· τότ᾽ ἂν οὔ τοι ἀποσχέσθαι φίλον ἦεν

Ἴσμαρος.

1) Πόλις Θρᾴκης τῶν Κικόνων Στεφ. Β. Ἡ νῦν Μαρώνεια λεγομένη. Σουΐδ. Ἀπὸ Ἰσμάρου τοῦ Ἄρεος καὶ Θρᾴσσης παιδός. Μ. Ετ.

2) Διόδ. ὁ Σικ. 5, 79 λέγει ὅτι ὁ Ῥαδάμανθυς ἐδωρήσατο τὴν Μαρώνειαν τῷ Εὐάνθει· τῶν δ' ἄλλων τῶν παρ' αὐτῷ ἡγεμόνων ἑκάστῳ νῆσον ἢ πόλιν δωρήσασθαι λέγουσι τὸν Ῥαδάμανθυν, Θόαντι μὲν Λῆμνον, Ἐνυεῖ δὲ Σκῦρον, Παμφύλῳ δὲ Πεπάρηθον, Εὐάνθει δὲ Μαρώνειαν κτλ.

3) ὁ Πλίνιος Ν. Η. 14, 4, 6 λέγει τὸν οἶνον τοῦτον· esse colore nigrum, odoratum, vetustate pinguescere.

Ἴσμαρος. Κίκονες

17

1) Ἴσμαρος Θρᾴκης τῶν Κικόνων Στεφ. Β. Ἡ νῦν Μαρώνεια λεγομένη. Εὐστ. ἀπὸ Ἰσμάρου τοῦ Ἄρεος καὶ Θρᾴσσης παιδός. Μ. Ετ.

2) Διόδ. ὁ Σικ. 5, 79 λέγει ὅτι ὁ Ῥαδάμανθυς ἐδωρήσατο τὴν Μαρώνειαν τῷ Εὐάνθει· τῶν δ᾽ ἄλλων τῶν περὶ αὐτὸν ἡγεμόνων ἑκάστῳ νῆσον ἢ πόλιν δωρήσασθαι λέγουσι τὸν Ῥαδάμανθυν, Θόαντι μὲν Λῆμνον, Ἐνυεῖ δὲ Σκῦρον, Παμφύλῳ δὲ Πεπάρηθον, Εὐάνθει δὲ Μαρώνειαν κτλ.

3) ὁ Πλίνιος N. h. 14, 4, 6 λέγει τὸν οἶνον τοῦτον· ipse colore nigrum, odoratum, vetustate pinguescere